Ex Asia veniens, Martis timor, acer in armis.
Hic bello quatiet celeberrima moenia Romae,
Heniochos, Colchosque et pastos lacte Agathyrsos,
Litus arenosum Thraces, desertaque Ponti.
Mox viduata silet magno pereunte tyranno
Roma viris pollens, nunc plurima funera moerens.
Iam novus imperii tractat dux saevus habenas
Aegypto missus magna, Parthosque feroces,

---

*afflatus articulo vatis munere fungebatur; ac desinente afflatu desinebat dictorum recordatio. Atque haec sane extitit causa, cur non omnes numeri versuum Sibyllae servarentur. Id enim quum in hac urbe* (Cumis) *essemus a perductoribus didicimus. Illud etiam inter alia, ut a maioribus acceptum narrabant, eos qui tunc oracula excipiebant, quum illiterati essent, saepe ab accurata numerorum observatione aberrasse. Atque id causae esse dicebant, cur numerus a nonnullis versibus absit; quippe quum Sibylla postquam teneri et afflari desierat, nihil eorum, quae dixerat, recordaretur, librarii autem ob imperitiam ab accurata numerorum observatione aberrassent.* Hisce causis corrumpendorum sibyllinorum addit Suidas (voc. Σίβυλλα χαλδαία) celeritatem dictantis Sibyllae, quam librarii scribendo assequi non potuerint, tum aevi diuturnitatem qua omnia vitiantur, tum crebram carminum descriptionem, tum eorumdem obscuritatem, tum secretum fortasse Dei consilium ne ab indignis oracula cognoscerentur. Atque has Iustini et Suidae affirmationes pro suo quisque libito lectores aestiment.

Μήδους, Γερμανούς τε, βοοσπορίδας τ' Ἀγαθύρσους,
Βρεττανοὺς Περνούς τε (1) φαρετροφόρους τε (a) Ἴβηρας,
Μασαγετὰς σκολιοὺς, Πέρσας δ' ὑπερηνορέοντας.
Καὶ τότε Ἑλλάδα πᾶσαν ἐσόψεται ἀγλαὸς ἀνὴρ
Ἐχθαίρων Σκυθίῃ καὶ Καυκάσῳ ἠνεμοέντι.
Σῆμα δέ τοι ἔσται κρατερὸν τούτου κρατέοντος
Οὐρανόθεν στεφάνοιο μεσημβρίης τε καὶ ἄρκτου
Αστρασι φαινομένοις παρομοίου ἀντείλαντος (b)
Καὶ τότε παιδὶ ἑῷ λείψει βασιλήϊον ἀρχὴν
Στοιχείου ἀρχομένου γὰρ ἐπὶ ἰδίῃ (c) ἐνὶ μοίρῃ
Βήσεται εἰν ἀΐδαο δόμοις βασιλεὺς ἀγαπήνωρ.
Αλλ' ὁπόταν ἄχρι τούτου παῖς ἐν χθονὶ Ρώμης
Ἐκ μονάδος προφανεὶς ἔσται κατὰ γαῖαν ἅπασαν
Εἰρήνη μεγάλη πολυήρατος, ὃν τε λατῖνοι
Στέρξουσι βασιλῆϊ καὶ ἑοῦ (d) πατρὸς εἵνεκα τιμῆς·
Ον σπευδόντα μολεῖν καὶ ἐπ' ἀντολίην θύσιν τε
Ρωμαῖοι σχήσουσι καὶ οὐκ ἐθέλοντα πρὸς οἴκους
Ρώμης κοιρανέου θ', ὅτι [δὴ] φίλος ἔπλετο πᾶσι
Θυμὸς ὑπὲρ βασιλῆος ἀγακλυτοῖο ἄνακτος.
Αλλὰ μινυνθάδιόν μιν ἀφαρπάξει βιότοιο
Οὐλόμενος θάνατος προδοθεὶς ἰδίῃ ἐνὶ μοίρῃ.
Αλλοι (e) δ' αὖ μετέπειτα πάλιν κρατεροὶ πολεμισταὶ
Αλλήλους κόψουσι κακὴν ἔριδα προφέροντες
Οὐ βασίλεια (f) ἔχοντες ἀνακτόρος (g) ἀλλὰ τυράννων.
Πολλὰ δὲ δὴ τελέσουσι κακὰ κόσμῳ ἐνὶ παντὶ,
Ρωμαίοις δὲ μάλιστα μέχρι τριτάτου Διονύσου·
Ἀχρις ἀπ' Αἰγύπτου κεκαρυθμένος ἥξεται Αρης,

(a) Cod. τ'. (b) Cod. παρόμοιοι ἀντείλωσιν. (c) Cod. ἐπ' ἐνδίῃ. (d) Cod. ἐς. (e) Cod. πάλιν, tum quinto loco ἄλλοι. (f) Cod. βασιλεῖ. (g) Cod. ἀνακτόρων.

(1) Cod. Περμανίους. Scripsi autem Πέρνους τε. Suntque prorsus intelligendi incolae Hiberniae, quam insulam Graeci

Medos, Germanos, bubus dites Agathyrsos,
Britonas, Hispanos, extremos orbis Hibernos,
Massagetasque feros sistit Persasque superbos.
Hellada tunc visit cunctam fortissimus heros,
Quem Scytha quem ventis pulsatus Caucasus horret.
Istius imperium signum mirabile monstrat
Caelitus australis populis boreisque corona
Par nitidis astris cum sese gurgite tollunt.
Sceptra suo tradet genitor mox regia nato
Quem prior ostendit numerus: tum morte quieta
Ad Ditis sine sole domos rex inclytus ibit.
Ergo dum iuvenis romana in sede locatus
Eminet a monade incipiens, pax ampla per orbem
Et iucunda nitet: nam gens in amore latina
Hunc habet, et clari laetatur imagine patris:
Sive iter hesperiam sive is meditatur eoam,
Invitum populus patria tellure coërcet
Qua caput imperii tollit se maxima Roma,
Egregiumque ducem studiis concordibus ardet.
Hunc tamen eripient primo sub flore iuventae
Implicitum morbo saevarum iura Sororum.
Post hunc atroces animae fera bella cientes
Damna cruentatas vertunt in mutua dextras.
Regius his habitus nullus sed forma tyranni
Effera, et innumero contristant funere mundum,
Romamque in primis, ternus Dionysius ante
Quam veniat: rutilis Mavors aegyptius armis

---

dixerunt Ἰουβρίαν aut Ἰέρνην. Quod vero Sibylla a Britannis ad Hibernos, atque ab his transilit ad Hispanos, in eo scilicet cum Taciti verbis consentit (*vit. Agricol.* cap. XXIV): *Hibernia medio inter Britanniam atque Hispaniam sita.*

Ον Διόνυσον ἄνακτα μετωνυμίαν καλέουσιν.
Αλλ' ὁπόταν φόνιός τε λέων φονίη τε λέαινα
Πορφύρεον ῥύξουσι κλυτὸν βασιλήϊον εἶμα,
Πνεύμονι συμμάρψουσιν ἐπειγομένης βασιλείης·
Καὶ τότε δ' ἀγνὸς ἄναξ ὃς τ' ἔλλαβε τραύματος ἀρχὴν
Ἐχθροὺς ἡγεμονῆας ἀμειψάμενος περὶ νίκης
Φέρφεσθαι σκυλάκεσσι καὶ οἰωνοῖσι μεδήσει.
Αἲ αἲ σὺ πυρίκαυστε πόλις μεγαλόσθενε Ρώμη,
Οπτόσα δεῖ σε παθεῖν ὁπόταν τάδε πάντα γένηται!
Αλλὰ μέγας βασιλεὺς ὁ περίκλυτος ἀμφὶς ἔπειτα
Χρυσῷ δ' ἠλέκτρῳ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι
Εξεγερεῖ πᾶσαν σε καὶ ἐν κόσμῳ προτερήσει
Κτήμασι καὶ ναοῖς, ἀγορῇσι, πλούτοις, σταδίοις τε (a).
Καὶ τότε δ' αὖτις ἔσῃ πᾶσι φῶς ὡς τὸ πρὶν ἧσθα.
Αἲ μέλεοι Κέκροπες καὶ Δαύλιοι (b) ἠδὲ Λάκωνες,
Οἵ περὶ Πηνιόν τε βαθυσχοινόν τε μολοσσὸν
Τρίκκην Δωδώνην τε καὶ ὑψίτμητον Ιδώμην,
Αὐχένα τε πτερικοῦ τε μέγαν περὶ δίον Ολύμπου,
Οσσαν Λάρισσάν τε καὶ ὑψίπυλον Καλυδῶνα!
Αλλ' ὁπόταν μέγα σῆμα Θεὸς μεροπίσσι ποιήσῃ
Ημερίην σκοτόεσσαν ἀμολγαίην περὶ κόσμου,
Καὶ τότε σοι, βασιλεῦ, τέλος ἔσσεται, οὐδὲ φύγοις ἄν
Οξὺ κασιγνήτοιο βίον βεβουλημένον εἰς σέ.
Καὶ τότε δ' αὖτ' ἄρξει δυμοφθόρος ἄσπετος αἰδὼς
Εκ Γετῆς (c) βασιλῆος ὃς Αἰγύπτου γένος ἵξει,
Οπλότερος μὲν, πολλῷ (d) ἀριστερὸς [αὖ] δὲ συναίμου,
Ογδοήκοντ' ἀριθμὸν, ὃς [γ'] ἔλλαχεν ἔντυπον ἀρχὴν.
Καὶ τότε δ' ἀθανάτοιο Θεοῦ δυμάλγεα μῆνιν
Κόσμος ἅπας κόσμοις (e) ὑποδέξεται εἵνεκα τιμῆς.

---

(a) Confer lib. II. v. 405. (b) Cod. Δαριῖοι. (c) Cod. ἐκγετῆς,

Quippe aderit, Nysae nomen de Numine ductum.
Sed cum sanguineusque leo frendensque leaena
Regalem scindent fulgentem murice vestem,
Hucque illucque trahent nutantis viscera regni;
Tunc pius et gravium non inscius ipse malorum
Rex inimica nigrae demittit corpora morti
Atque feris laceros pascendos proicit artus.
Eheu Roma potens rapidis obnoxia flammis,
Quem te dura manent, fatis complentibus iras!
Sed rex te rursum fama super aethera notus
Auro atque electro, argento solidoque elephanto
Extruet, et melior demum post funera surges,
Divitiis, templis circisque forisque opulentis,
Atque iterum cuncto regina nitebis in orbe.
Cecropida infelix, et Daulis, vosque Lacones,
Et qui Peneum colitis, iuncique molossam
Fructiferam Tricam, praeruptum culmen Ithomes,
Dodonam, et nubes ferientem vertice Olympum,
Ossam, Larissamque, et sublimem Calydona!
Sed grave cum signum Numen mortalibus edet
In tenebras condens altum caligine caelum,
Tunc tibi finis erit, rex: nec vitare licebit
Germani insidias in te violenter euntis.
Imperat ecce alius tristissimus igneus audax
Qui trahit Aegypti genus alto a sanguine regum:
Annis fratre minor sed valde sinistrior actis
Regna octogeno numero distinctus adibit.
Aeterni rigidam mundus tunc Numinis iram
Sentiet, et meritas patientur crimina poenas.

---

quem locum, ut quisque malet, constituat. (*d*) Cod. πολλῶν. (*e*) Ita cod.

Εσται γὰρ μερόπεσσιν ἐφημερίοις ἀνθρώποις
Λιμοὶ καὶ λοιμοὶ (a), πόλεμοί τ' ἀηδροκτασίαι τε,
Καὶ σκότος ἀκάματον καὶ ἐπὶ χθόνα μήτερα λαῶν
Η δ' ἀκαταστασίη καιρῶν καὶ ἀμείλιχος ὀργὴ·
Οὐρανόθεν σεισμοί τε κεραυνοὶ [τε] φλεγέθοντες
Κελαινοὶ δ' ὑετοὶ καὶ αὐχμηραὶ (b) ψεκάδες [δὴ].
Σείετο δ' αὖ φρυγίης γαίης αἰπειναὶ κάρηνα,
Σείοντο σκυθικῶν ὀρέων πόδες, ἔτρεμεν ἄστυ,
Ετρεμε δὲ χθὼν πᾶσα μετὰ σφισιν Ελλαδος Αρης.
Πολλαὶ δ' αὖτε πόλεις τε Θεοῦ μέγα θυμαίναντος
Πρηνισμοῖς πέσσονται (c) ὑπ' αἰθαλόεσσι κεραυνοῖς,
Καὶ κοπετοῖς, οὐκ ἔστι (d) φυγεῖν χόλον οὐδ' ὑπαλύξαι.
Καὶ τότε δ' αὖ πίσεται βασιλεὺς στρατιῆς ἀπὸ χειρὸς
Βληθεὶς οἷάπερ οὔτις ὑπὸ σφετέρων ἀνθρώπων.
Τὸν μετὰ Λατίνων πολλοὶ πάλιν ἐξεγεροῦνται (e)
Ανδρες πορφυρέην λώβην ἀμφείμενοι ὤμοις,
Οἱ κλήρῳ στέρξουσι λαβεῖν βασιλήϊον ἀρχὴν.
Καὶ τότε τρεῖς βασιλεῖς ἐπὶ (f) ἀγλαὰ τείχεα Ρώμης
Εσσονται δύο μὲν πρῶτον ἀριθμὸν κατέχοντες,
Εἷς δὲ φέρων νεῖκος τὸ μετώνυμον οἷαπερ οὐδείς.
Στέρξουσι Ρώμην αὐτοὶ καὶ κοσμὸν ἅπαντα
Κηδόμενοι μερόπων, ἄνεσις δ' οὐκ ἔσσεται αὐτοῖς.
Οὐ γὰρ ἔφυ κόσμῳ Θεὸς ἵλαος οὐδέ μιν ἔσται
Ημερος ἀνθρώποις ὅτι δὴ κακὰ πολλὰ ἔοργαν·
Τούνεκεν αὖ βασιλεύσιν ἀεικέα θυμὸν ἐποίσει
Παρδαλίῳ τε λύκων πολὺ χεῖρον· τοὺς (g) γὰρ ἀφειδῶς
Χαλκεοθώρηκες παλάμαις ἰδίαισι λαβόντες
Απρήκτως τμηδέντας ἀνάλκιδας οἷα γυναῖκας
Εξολέσουσιν ἄνακτας ἐπὶ σκήπτροισιν ἑοῖσιν.

---

(a) Confer lib. II. v. 23. VIII. v. 175. (b) Cod. αὐχηραὶ. (c) Cod. πίσονται. (d) Cod. κοὐκέτι. (e) Cod. ἐξεγειροῦνται. (f) Cod. ἐπ'.

Lurida nempe cohors instat mortalibus aegris
Saeva lues pallensque fames bellumque necesque,
Atque chaos terram fuscis amplectitur alis.
Ecce autem rapido miscetur murmure caelum,
Tellurem motus agitant et fulgura fulgent,
Horrida tempestas ruit et niger aetheris humor,
Et phrygiae nutant montana cacumina terrae,
Atque alpes saliunt scythicae ab radicibus imis:
Omne solum quatitur, trepidat Mars Hellados ipse,
Atque furente Deo passim de sedibus urbes
Versae praecipitant et fulminis alite flamma,
Nec lacrymis gemituve datur mollire furorem,
Occidet interea rex in certamine Martis
Proditione nefas! dextraque peremptus amica.
Post hunc exacuunt multi fera tela Latini
Terribiles visu formae cum veste cruenta,
Ambitumque sibi quaerunt per proelia regnum.
Denique tres Romam reges ditione tenebunt.
Littera prima duos signat, sed tertius ultro
More novo sumit rixae pro nomine nomen.
Hi quamvis Romam populosque sequantur amore
Sollicitique suis studeant, non ulla quietis
Pars erit, implacidus quoniam Deus ardet in orbem,
Nullaque criminibus laesum clementia flectit.
Quare urget reges divini pectoris aestus,
Quantus pantherae furor est quantusque luporum.
Ecce viri latus accincti fulgentibus armis
Imbelles animis reges impune trucidant,
Sceptraque comminuunt dominis erepta peremptis.

---

(g) Cod. αὐτοὸϛ.

Αἳ μέλεα (a) Ῥώμης ἐρυκυδέος ἔξοχοι ἄνδρες
Ψευδαπάταις ὅρκοισι πεπεισμένοι ἐξαπόλησθε!
Καὶ τότε δὴ πολλοὶ δορυκοίρανοι οἱ κατὰ κόσμον
Φῶτες ἐφορμηθέντες ἀφαιρῆσουσι γενέσθαι
Αἵματι πρωτογόνων ἀνδρῶν . . . . .
Δὶς τοίην δ' οὐ πρῶτον ἄγειν οἰκτρὴν. Τότε δαίμων
Πάντας δ' ἀνθρώπους ἰδίοις ἔργοισιν ὀλέσσει.
Αλλὰ πάλιν Θεὸς αὖξει ἀναιδέα θυμὸν ἔχοντα
Εἰς κρίσιν ἐλθέμεναι ὁπόσοι (b) κατατεκμήραντο.
Αὐτοὶ ἐπιφράσσονται ἐν ἀλλήλοισι βαλόντες
Αὐτὴν ἰσοκρίσιν (c) ἐφιέμενοι κακότητος·
Πολλὰ μὲν ἐξῆς ἄστρα καὶ ἀκτινόεντα κομήτην (d)
Πολλοῦ ἐπερχομένου πολέμου καὶ δηϊοτῆτος (e).
Ηνίκα δ' αὖ χρησμοὺς συνάγει πολλοὺς περὶ νήσων
Φραζόμενον (f) ξείνοισι μάχην καὶ δηϊοτῆτα
Αργαλέην τε ἄτην ἱερὸν λέξει δὲ τάχιστα
Πυρούς καὶ κριθὰς συνάγειν ἐν δώμασι. Ῥώμης
Εἰς ἄφενον σπευδόντι ἐπὶ δυοκαίδεκα μῆνας.
Καί τε ταλαίπωρος πόλις ἔσσεται ἥμασι κείνοις,
Εὐθὺς δ' εὐδαίμων πάλιν ἔσσεται οὐ κατὰ μικρὸν.
Ησυχίη δ' ἔσται, ὁπόταν τὸ κρατοῦν ἀπολῆται.
Καὶ τότε Λατίνων γενεὴ πύματος βασιλεύων
Εσται, καὶ βασιλεῖα μετ' αὐτὴν ἔξαναφύσει
Παῖδες καὶ παίδων γενεὴ ἀσάλευτος ὑπάρχει·
Εσται γὰρ γνωστὴ οἳ (g) ἐπεὶ Θεὸς αὐτὸς ἀνάσσει.
Εστι δὲ τὶς γαῖη φίλη τροφὸς ἀνθρώποισι
Κειμένη ἐν πεδίῳ, περὶ δ' αὐτὴν Νεῖλος ὀρίζει
Πᾶσαν ἐπουρίζων Λιβύην ἠδ' Αἰθιοπίαν.
Καὶ Σύροι ἀπάρξουσιν ἐφήμεροι ἄλλοθεν ἄλλος

(a) Ita videtur habere codex, sed malim μέλεοι. (b) Cod. ὅσοι.
(c) Cod. εἰσοικρίσιν. (d) Ita cod. Videtur autem deesse aliquod

Vae proceres vobis Romae armipotentis alumni!
Fallacis tandem luitis periuria linguae.
Tunc plures valido pollentes Marte tyranni
Dira furent toto bacchantes proelia mundo,
Primigenûmque virûm sobolem sperare vetabunt
Insoliti auctores luctus. Tunc ultima daemon
Astu fata suo mortalibus accelerabit.
Ast iterum Deus audacem cumulabit honore,
In ius ut rapiat quotquot sua crimina signant.
Convicti hi solvunt convicia mutua linguae
Ipso in iudicio scelerum pravique tenaces.
Sidera multa dehinc monstrant radiansque cometa
Venturi belli molem pugnaeque tumultum:
Pluraque conterrent populos oracla marinos,
Barbaricasque canunt ferro sibi sciscere gentes
Exitium. Tunc divino monet ore sacerdos
Vi magna segetum cumulentur ut horrea Romae
Bis denos menses desit ne copia rerum:
Namque manent totidem miseram infortunia lunas.
Sed mox in longum felicia fata redibunt.
Pax veniet postquam non iusta potentia cedet.
Ultimus imperio potitur de stirpe latina.
At quae consequitur stirps regia plurima crescet,
Nati natorum, domus inconcussa, manebunt,
Et documenta dabunt fausto se Numine rectos.
Terra frequens colitur pascendis larga colonis
Planitie in magna, quam circum Nilus inundat
Aethyopas ditans nigros Libyamque calentem.
Iamque Syri tenues diversa in parte piabunt

---

vocabulum. (e) Cod. ἀηϊοτῆρος. (f) Cod. φραζόμενος. (g) Cod. σα

Πᾶσαν ἁμαρτίαν τῆς δεκτῆς· οἳ (a) μέγας ἔσται
Κεδνὸς ἄναξ βασιλεὺς παίδων, καὶ φῶτεσι πεμπων
Καὶ δεινὸν φρόνεων περὶ δεινοτάτοις ἐπὶ πᾶσαν
Ἰταλίης πάσης μεγαλόφρονος οἷσιν ἀρωγὸς
Καρτερὸς (b). Ἥνικα δ' Ἀσσυρίας ἐπὶ οἶνοπα πόντον
Ἐλθῃ, καὶ Φοίνικας ἑοῖς οἴκοις δ' ἀλαπάξει
Δησόμενος (c) πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν·
Τῶν δύο κοιρανιῶν γαίης εἷς κοίρανος ἔσται.
Νῦν δὲ τέλος πολύμοχθον Ἀλεξανδρεῦσιν ἀείσω.
Οἱ δ' ἱερὴν Αἴγυπτον ἀπήμονα τὴν ἀσάλευτον
Βάρβαρον οἰκήσουσιν, ὅταν φθόνος ἔκποθεν ἔλθῃ·
Χεῖμα δέρος ποιεῖ, τότε δέσφατα πάντα τελεῖται.
Ἀλλ' ὅποταν τρεῖς παῖδες ὀλύμπια νικήσωσι,
Κἂν μὲν δὴ φράζωσι, θεόκλυτα δέσφατα λέξῃ.
Αἵματι τετράποδος γαλαθηνοῦ πρῶτα καθῄρῃ.
Τρὶς τοίνυν Ὑψιστος ἄγει δείρην τότε δεινὴν,
Οὗ γ' ἂν πενθαλέον δόρυ μακρὸν πᾶσι (d) ταμύσῃ,
Αἷμα πολὺ ῥεύσει τότε βάρβαρον ἐν κονίῃσι
Κενοῖς ἀξείνοισιν ὅταν πόλις ἐξαλαπαχθῇ.
Ὀλβιος ὃς τέθνηκε, καὶ ὄλβιος ὅστις ἄτεκνος!
Τόν [τοτε] γὰρ δούλειον ὑπὸ ζυγὸν αὐχένα δήσει
Ὃς πρὶν ἐλευθερίῃσιν ἐπώνυμος ἡγεμόνησας (e),
Βουλὰς ἔμπροσθεν μὲν ἀοίδιμος (f) οὕτω ἑλίσσων.
Τοίην δουλοσύνην δήσει πολύεδρον ἀνάκτων!
Καὶ τότε δὲ Σικελῶν στρατὸς αὐτίκα δύσμορος ἥξει
Δεῖμα φέρων ὁπόταν πάλι (g) βάρβαρος ἐπέλθῃσι (h),
Καρπὸν ἐπᾶν φύσωσι διατμήξουσιν ἀρούρας·
Τοῖς κακὸν ἀντ' ἀγαθοῦ δώσει Θεὸς ὑψικεραυνός.

---

(a) Cod. οἷ. (b) Cod. ἀρωγὸν καρτερὸν. Et quidem hic locus obscuritate laborat. (c) Cod. δησόμενον. (d) Cod. ἐπὶ πᾶσι.

Muneris accepti crimen. Tum maximus esto
Rex sibi subiectos patrio moderatus amore,
Terribilis tumidos animos tollentibus idem,
Italicumque premens fastum. Sed martius istis
Cum vindex nigram assyrii super aequoris undam
Venerit atque lares Phoenicum milite verret,
Moxque ferox bellum vinclis frenabit ahenis;
Unus tunc gemini regni moderamen habeto.
En age Alexandri canitur malus exitus urbi.
Nilicola armipotens ad barbara regna trahetur
Fatorum arcana invidia. Cum fervidus aestus
Incidit in brumam, tunc finem oracula tangunt.
Mox ubi olympiacae iuvenes tres praemia palmae
Rettulerint, divina statim responsa iubebunt
Sanguine quadrupedis tenerae commissa piare.
Ter tunc Omnipotens quassans cervice minaci
Caesariem, vibrat praegnantem luctibus hastam.
Ergo barbarico manabit inhospita tellus
Sanguine, dum bello ruit urbs convulsa supremo,
Felix qui functus fato et qui prole carebit!
Sub iuga nam domitum flectes servilia collum
Qui prius indebas anno tua nomina liber:
Iam prudens, at nunc quantum mutatus ab illo
Heu grave servitium pateris dominosque potentes!
Ecce repente venit siculis exercitus oris
Terribilis, si forte iterum pes barbarus adsit.
Ille etiam segetes tenera depascet in herba.
Sed Deus imponet poenas qui fulmine gaudet.

---

(e) Cod. perspicue ἐπώνυμον εἰς ἐμονάσεις. (f) Cod. ἀοίδιμον. (g) Cod. πάλιν. (h) Cod. ἐπέλθῃ.

Ξείνος ξεῖνον ἀεὶ προνομεύσας χρυσὸν ἁπεχθῆ.
Αὐτὰρ ἐπὰν δὴ πάντες ἐπόψονθ' αἷμα λέοντος
Θυμοβόρου φονία τ' ἐπὶ σώματι ἵξει λέαινα.
Αὐτοῦ κἀκκεφαλῆς σκῆπτρον δ' ἀπορίψει (a) ἀπ' αὐτοῦ
Ὡς δ' ὁπόταν ἐν δαιτὶ φίλῃ γεύσονται ἅπαντες
Λαοὶ ἐν Αἰγύπτῳ τελέουσι δὲ κάρτερα ἔργα.
Αλλος δ' ἄλλον εὗρυκε (b), πολὺς δ' ἀλαλητὸς ἐν αὐτοῖς,
Ωσαύτως ἐπὶ τάρβος ἐπέσσεται ἀνθρώποισι
Μαινομένης ἔριδος, πολλοὶ δ' ἀπόλοιντο καὶ ἄλλοι
Αλλήλους κτείνοντες ὑπὸ κρατερῆς ὑσμίνης.
Καὶ τότε κυανέαις φολίσι πεπυκάσμενος ἵξει·
Ηξουσι δύο ἄλλοι μορόθεοι ἀλλήλοις (c),
Καὶ τρίτατος αὐτοῖσι κριὸς μέγας ἐκ Κυρήνης
Ον πρὶν ἔλεξα φυγόντα μάχης παρὰ χεύμασι Νείλου·
Αλλ' οὐδ' ὃς ἄπρηκτον ὁδὸν τελέουσιν ἅπαντες.
Καὶ τότε μὲν μεγάλων περιτελλομένων ἐνιαυτῶν
Εσσονται μήκη πολυήσυχα. Αὐτάρ ἔπειτα
Θήσετ' ἐν Αἰγύπτῳ πόλεμος πάλι (d) δεύτερος αὐτοῖς·
Καυχίη δ' ἔσται, νῖκος δ' αὐτοῖσιν οὐκ (e) ἔσται.
Ω μέλεοι χειρῶν ἔσται πόλεως ἐπισήμου!
Καὶ πολίμοις σκύλευμα γενήσεται οὐκ ἐπὶ θηρὸν.
Καὶ τότε δὲ χώρης πολλῆς δμοτέρμονες ἄνδρες
Φεύξονται δειλοί, δολίους δ' ἄξουσι τοκῆας·
Καὶ πάλιν ἐγκύρσουσι ποδὶ (f) μέγα νῖκος ἔχοντες
Ιουδαίοις ὀλέσουσι μενεπτολέμους ἀνθρώπους,
Αχρις ἁλὸς πολιῆς κεραΐζοντες (g) πολέμοισι
Ποιμένες ἀμφότεροι περὶ πατρίδος ἠδὲ τοκήων·
Θήσει δὲ φθιμένοισι τροπαιοφόρων γένος ἀνδρῶν.
Αἰ (h) ὁπόσοι φῶτες περὶ κύματα νηχήσονται!

---

(a) Cod. ἀποῤῥίψει. (b) Cod. ἄλλον δ' ἄλλον νεύρυκε.
(c) Cod. ἀλλήλοισι. (d) Cod. πάλιν. (e) Ita cod. (f) Cod. παῖδα.

Hospes et assidue praedabitur hospitis aurum.
Mox ubi terra madet rubefacta cruore leonis
Immitis, caesumque videt lea torva cadaver;
Et manui et capiti eripiet sceptrum atque coronam.
Ac veluti Aegypti populus convivia miscet
Mutua, cum tristes solvit victoria curas,
Inque vicem sese exhilarat, ferit aethera clamor;
Talis erit turbae properantis ad arma tumultus,
Martis ubi terror pallentia proferet ora,
Taliaque alternis inter se proelia ludent.
Tunc veniet nigris armatus corpora squamis:
Moxque superveniet stultissimus unus et alter;
Ingens Cyrenes aries se tertius infert,
Elapsus saevo Nili prope flumina Marte:
Namque pedem pauci cohibent a faucibus Orci.
Tunc autem magnis circumvolventibus annis
Dulcis et alta quies regnat: mox ferrea rursus
Saecla vehit bellum et Nilotica regna cruentat.
Victor nullus erit, sed vana superbia linguae.
O urbs infelix multos dominata per annos!
Te tamen haud longum victor populabitur hostis.
Tum trepidans linquit contermina turba penates
Atque trahit, quorum fugitat nunc fraude, parentes.
Moxque pedem referens exul melioribus armis
Effera curtorum quatit agmina Iudaeorum.
Usque salum canum propellet cornibus hostem
Pastor uterque, suis arcet dum funera natis.
Tum novus exoritur functorum ex ossibus ultor.
Eheu quot video mortales fluctibus haustos!

---

(g) Confer lib. I. v. 403. (h) Cod. bis *ad*.

Πολλοὶ γὰρ κείσονται ἐπὶ ψαμαθώδεας ἀκτὰς·
Ξανθὰ καρήνα πέσονται ὑπ' Αἰγυπτίων πετεήνων·
Δή τοτε τῶν Αράβων μετελεύσεται αἷμα βρότειον.
Αλλ' ὅταν αὖτε λύκοι κυσὶν ὄρκια πιστώσονται,
Νήσῳ ἀμφιρυτῇ (1) τότέ πύργου (a) ἀνάστασις ἔσται·
Ανδρες οἰκήσουσι πόλιν τὴν πολλὰ παθοῦσαν.
Οὔκετι γὰρ δόλιος χρυσὸς οὐδ' ἄργυρος ἔσται,
Οὐ κτῆσις γαίης οὐ δουλείη πολύμοχθος,
Αλλὰ μίη φιλότης τε καὶ εἷς τρόπος εὔφρονι δήμῳ·
Κοινὰ δὲ πάντ' ἔσται καὶ φῶς ἴσον ἐν βιότοιο·
Εκ γαίης κακίη καταδύσεται εἰς ἁλὰ δίαν·
Καὶ τότε δ' εγγὺς ἦεν τὸ θέρος μερόπων ἀνθρώπων.
Ταῦτα τελεσθῆναι κρατερὴ ἐπικείσετ' ἀνάγκη (b).
Οὐ λέξει τότε τις μεμνήμενος ἁλὸς ὁδίτης
Ως ῥὰ (c) ποτ' ἀμπαύσει μερόπων γένος ὀλλυμένων περ!
Καὶ τότε δ' ἀγνὸν ἔθνος (2) ἁπάσης γῆς σκῆπτρα κρατήσει (d)
Εἰς αἰῶνας ἅπαντας ἅμ' ἰφθίμοισι τοκεῦσιν.

---

(a) Cod. πύργων. (b) Confer lib. III. v. 510. (c) Cod. ὡς δὴ ῥὰ. (d) Confer lib. II. v. 396. VIII. v. 169.

Littus arenosum facili dat membra sepulchro.
Verticibus flavis velox Aegyptius instat.
Tunc Arabum veniet trepido gens inclyta bello.
Sed cum pacta lupi canibus socialia iungunt,
Famosae recipit circumflua turris honorem
Insula, et urbs colitur post tristia fata resurgens.
Argentum nullum est aurumve nec arva cuique
Propria, servitio misero iam exire licebit.
Regnat amor regnat concors sententia mentis,
In medium nam cuncta ferunt consortia vitae.
Omne soli vitium ponto submergitur alto.
Tunc sperata dies messis mortalibus instat.
Atque haec confieri firmissima fata iubebunt.
Nullus monstrifero tunc dicet in aequore nauta
Pax utinam veniat mortalibus optima fessis!
Gens pia cum claris toti dominabitur orbi
Patribus, aeternum moderans per saecula regnum.

(1) Intellige Pharum.

(2) Videtur intelligenda gens christiana. Sed enim versus 295. vix sapit poëtam christianum.

*Praeter librum XIV. occurrunt in ambrosiano codice liber quoque sextus et ea pars octavi quae inscribitur* Acrostichis de Christo. *Horum librorum scriptura quoniam ab editis vehementer differt, utrumque carmen sibyllino meo subtexendum curavi.*

## LIBER VI.

Ἀθανάτου μέγαν υἱὸν ἀοίδιμον ἐκ φρενὸς αὐδᾶ,
Ὃ θρόνον ὕψιστος γενέτης παρέδωκε λαβέσθαι
Οὔπω γεννηθέντι, ἐπεὶ κατὰ σάρκα δοθεῖσαν
Ἠγέρθη, προχοαῖς ἀπολουσάμενος ποταμοῖο
Ἰορδάνου, ὃς φέρεται γλαύκῳ ποδὶ κύματα σύρων,
Ὃς πυρὸς ἐκφεύξας πρῶτος Θεὸν ὄψεται ἡδὺν
Πνεύματι γεννηθέντα λευκαῖς πτερύγεσσι πελείης.
Ἀνθήσει δ' ἄνθος καθαρὸν, βρύσουσι δὲ πηγαὶ·
Δείξει δ' ἀνθρώποισιν ὁδοὺς, δείξει δὲ κελεύθους
Οὐρανίους, πάντας δὲ σοφοῖς μύθοισι διδάξει·
Ἥξει δ' εἴς τε δίκην καὶ πίασει λαὸν ἀπειχθῆ,
Αἰνιτὸν αὐχήσας πατρὸς γένος οὐρανίδαο,
Κύματα πεζεύσεις, νόμους τ' ἀνδρῶν ἀπολύσει,
Στήσει τεθνηῶτας, ἀποίσεται ἄλγεα πολλὰ,
Ἐκ δὲ μιῆς σπείρης ἄρτου κόρος ἔσσεται ἀνδρῶν
Οἶκος ὅταν Δαβὶδ φύῃ φυτὸν· ἐν χερὶ δ' αὐτοῦ
Κόσμος ὅλος καὶ γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα·
Ἀστράψει δ' ἐπὶ γῆν, οἷόν ποτε φῶτα φανέντος
Εἶδος ἀπ' ἀλλήλων πλευρῶν δύο γεννηθέντα
Ἔσσεται, ἡνίκα γαῖα χαρήσεται ἐλπίδι παιδὸς.
Σοὶ δὲ Σοδομῆτι γυίῃ κακὰ πήματα κεῖται·
Αὕτη γὰρ δύσφρων τόσσον Θεὸν οὐκ ἐνόησεν
Ἐλθόντα ξεινοῖσιν ἐν ὄμμασιν· ἀλλ' ἀπ' ἀκύνδης
Ἐστέψας στεφάνῳ, φοβερὴν δὲ χολὴν ἐκέρασας
Εἰς ὕβριν καὶ πνεῦμα τί σοι κακὰ πήματα τεύξει.
Ὦ ξύλον ὦ μακαριστὸν ἐφ' οὗ θεὸς ἔξετανύσθη!
Οὐχ' ἕξεις ἐχθρὸν ἀλλ' οὐρανὸν οἶκον ἐσόψει,
Ἡνίκα δ' ἀστράψει τόσσον θεὸς ἔμπυρον ὄμμα.

Ω Ροδε δειλαίη σε· σὲ γὰρ πρώτην σὲ δακρύσω.
Ηξει δ' οὐρανόθεν βασιλευς αἰῶσιν ὁ μέλλων
Σάρκα παρὼν πᾶσαν κρίνειν καὶ κοσμον ἅπαντα
Υψιστον δὲ Θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι
Οψονται μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο·
Σαρκοφόρων ἀνδρῶν ψυχὰς ἐπὶ βήμασι κρίνει·

## LIBRI OCTAVI

### PARS QVAE DICITVR ACROSTICHIS DE CHRISTO.

Χέρσος ὅτάν ποτε κόσμος ὅλος καὶ ἄκανθα γένηται·
Ρίψουσι δ' ἔιδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα
Εκκαύσει δὲ τὸ πῦρ γὴν οὐρανὸν ἠδὲ θάλασσαν
Ιχνεύων, φρύξει δὲ πύλας εἱρκτῆς ἀίδαο.
Σὰρξ ὅτε πᾶσα νεκρῶν ἐς ἐλευθέριον φάος ἥξει
Τῶν ἁγίων· ἀνόμων δὲ τὸ πῦρ αἰῶσιν ἐλίξει
Οππόσα τὶς πράξας ἔλαθες, τότε πάντα λαλήσει.
Στήθεα γὰρ ζοφοέντα Θεὸς φωστῆρσιν ἀνοίξει
Θρῆνος δ' ἐκ πάντων ἔσται καὶ βρυγμὸς ὀδόντων.
Εκλείψει σέλας ἠελίοιο ἀστρῶν δὲ χαρίεν
Οὐρανὸς εἰλίξει, μήνης δέ τε φέγγος ὀλεῖται.
Υψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν.
Υψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται
Ισα δ' ὄρη πεδίοις ἔσται καὶ πᾶσα θάλασσα.
Ουκέτι πλοῦν ἴξει, γὴ γὰρ φρυχθεῖσα τότ' ἔσται,
Σὺν πηγαῖς ποταμοὶ δὲ καχλάζοντες λείψουσι.
Σάλπιγξ οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει
Ωρύουσα μύσος μᾶλλον καὶ πήματα κόσμου.
Τυρτάρειον δὲ χάος δείξει τότε γαῖα χανοῦσα.
Ηξουσι δ' ἐπὶ βῆμα Θεοῦ βασιλῆες ἅπαντες.
Ρεύσει δ' οὐρανόθεν ποταμὸς πυρὸς ἠδὲ θεοῖου.
Σῆμα δέ σοι τότε πᾶσι σφρηγὶς ἐπίσημος
Τὸ ξύλον ἐν πιστοῖς τὸ κέρας τὸ ποθούμενον ἔσται,
Ανδρῶν δ' εὐσεβέων ζωὴ, πρόσκομμα δὲ κόσμου.
Υδασι φωτίζων κλητοὺς ἐν δώδεκα πηγαῖς.

Ράβδος ποιμαίνουσα σιδηρίη τε κρατήσει.
Οὗτος οὖν προγραφεὶς ἐν ἀκροστιχίοις θεοσημείοις
Σωτὴρ ἀθάνατος βασιλεὺς ὁ παθὼν ἵνεχ' ἡμῶν,
Ον Μωσῆς ἐτύπωσ' προτίνας ὠλίνας ἄγνας.
Τὴν ῥάβδον Δαβὶδ καὶ τὸν λίθον ὅνπερ ὑπέστη
Εκλεκτὸν παρὰ πατρὶ Θεῷ καὶ τίμιον εἶναι.
Νικῶν τὸν Αμαλὴκ, Χριστὸν ἵνα λαὸς ἐπιγνῶ,
Εἰς ὃν ὁ πιστεύσας ζωὴν αἰώνιον ἕξει.
Αὐτὸν γὰρ τρόπιστα λωβεῖν σύμβουλον ἀπ' ἀρχῆς.
Εἶπεν ὁ παντοκράτωρ ποιήσωμεν τέκνον ἄμφω
Εἰκόνος ἡμετέρης πεμάξαμενος βροτὰ φῦλα.
Νῦν μὲν ἐγὼ χερσὶ, σὺ δ' ἔπεντα λόγῳ θεραπεύσεις
Μορφὴν ἡμετέρην, ἵνα καινὸν ἀνάσταμα δώσεις.
Γνώμης οὖν ταύτης μεμνημένος εἰς κρίσιν ἥξει.
Οὐράνιοι δ' ὅσι καὶ μόρφωσαν τὸν ἀπ' ἀρχῆς
Οὐράνιον ἄνθρωπον πλασθέντα θεοῦ παλάμῃσι,
Ον οὐκ ἐπλάνησεν ὄφις δολίως ἐπὶ μοῖραν ἀνελθεῖν
Τοῦ θανάτου, γνῶσιν τε λαβεῖν ἀγαθοῦ τε κακοῦ τε.
Καί τε θεὸν προλιπόντες ἐλάτρευον ἤθεσι θνητοῖς
Αντίτυπον μίμημα φέρων εἰς πάρθενον ἁγνὴν,
Υδατι βαπτίζειν διὰ πρεσβυτέρων ἅμα χειρῶν
Πάντα λόγῳ πράσσων πᾶσαν δὲ νόσον θεραπεύων
Τοὺς ἀνόμους παύσειε λόγῳ παύσει δὲ θάλασσαν
Μαινομένην ποσὶν, εἰρήνην ποτὶ δὲ κρατήσει.
Εκ δ' ἄρτων ἅμα πέντε καὶ ἰχθύος εὐαλίοιο
Ανδρῶν χιλιάδας ἐν ἐρήμῳ πέντε κορέσσει·
Καὶ τὰ περιττεύοντα λαβεῖν τότε κλάσματα πάντων
Δώδεκα πληρώσει καφίνους εἰς ἐλπίδα λαῶν.
Καὶ καλέσει ψυχὰς μακάρων ἐχθροὺς δ' ἀγαπήσει,
Οἱ κακὸν ἀντὶ καλοῦ χλευαζόμενοι πρήξουσι
Τυπτόμενοι, μαστιζόμενοι, πενίην ποδέοντες
Πάντα νοῶν καὶ πάντα βλέπων καὶ παντ' ἐπακούων.
Σπάγγνα κατοπτεύσει καὶ γυμνώσει (a) πρὸς ἔλεγχον.

(a) Cod. γυμνάσει.

Αὐτὸς γὰρ πάντων ἀκοὴ καὶ νοῦς καὶ ὅρασις,
Καὶ λόγος ὁ κτίζων μορφὰς, ᾧ πανθ' ὑπακούει,
Καὶ νέκυας σώζων, πᾶσαν δὲ νόσον θεραπεύων.
Χαῖρ' ἁγνὴ θύγατερ μέμνη πολλὰ παθοῦσα
Αὐτός σου βασιλεὺς ἐπιβὰς ἐπὶ πῶλον εἰσάξει
Πραΰν πρᾶος ἔξει, ἵνα τὸν ζυγὸν ἡμῶν δουλειον
Δυσβάστακτον ἐπ' αὐχένι κείμενον αἶρῃ,
Καὶ δεσμοὺς ἀθέους λύσῃ δεσμούς τε βιαίους.
Αὐτόν σου γίνωσκε Θεὸν Θεοῦ υἱὸν ἐόντα
Τοῦτον δοξάζουσα καὶ ἐν στέρνοισιν ἔχουσα
Εκ ψυχῆς ἀγάπα καὶ τοὔνομα βάστασον αὐτοῦ,
Τοὺς προτέρους δ' ἀπόθου, καὶ λούσομαι αἵματος αὐτοῦ.
Οὐ γὰρ σαῖς οἵμαις ἱλάσκεται οὐδὲ λιταίσιν.
Οὐ θυσίαις προσέχει φθαρταῖς ἄφθαρτος ὑπάρχων
Αλλ' ὕμνον στομάτων συνετῶν τότε ἐκπροφέροντες.
Γνώσῃ τίς ἐσθ' οὗτος καὶ τὸν γεννητῆρα τοτ' ὄψει.
Οὐδὲ γὰρ ἐν δόξῃ, ἀλλ' ὡς βροτὸς εἰς κρίσιν ἥξει.
Οἰκτρὸς, ἄτιμος, ἄμορφος ἐν οἰκτοις ἐλπίδα δώσει.
Καὶ φθαρτῇ σαρκὶ μορφὴν καὶ πίστιν ἀπίστοις
Εἰς ἀνόμων χεῖρας καὶ ἀπίστων ὕστερον ἥξει.
Δώσουσι δὲ θιῷ ῥαπίσματα χερσὶν ἀνάγνοις,
Καὶ στόμασι μιαίοις ἐμπτύσματα φαρμακόεντα.
Δώσει δ' εἰς μαστίγας ἀναπλώσας τό τε νῶτον,
Καὶ κολαφιζόμενος σιγήσει μή τις ὑπαγωῖ
Τίς τίνος ἢ πόθεν ἦλθεν ἵνα φθιμένοισι λαλήσῃ.
Καὶ στέφανον φορεύσῃ τὸν ἀπάνθινον· ἐκ γὰρ ἀκάνθων
Τὸ στέφος ἐκλεκτὸν αἰόνιον ἐστὶν ἄγαλμα.
Πλευρὰς νύξωσι καλάμῃ διὰ τὸν νόμον αὐτῶν,
Εκ καλαμῶν γὰρ σειομένων ὑπὸ πνεύματος ἄλλου
Πρὸς κλίματα ψυχῆς ἐτράφη ὀργῆς καὶ ἀμοιβῆς.
Αλλ' ὅτε ταῦτα πάντα τελειώθη ἅπερ εἶπον,
Εἰς αὐτὸν τότε πῶς τε νόμος λύεται· τὶς ἀπ' ἀρχῆς
Δόγμασιν ἀνθρώποις ἐδόθη διὰ λαὸν ἀπειθῆ
Εκπετάσει χεῖρας μετρήσει, εἰς δὲ τὸ βρᾶχμα

Χολὴν καὶ πιεῖν ὄξος ἔδωκαν . . . . . .
Τῆς ἀφιλόξενίης ταύτης τίσουσι τράπεζαν
Ναοῦ δὲ σχίσθῃ τὰ πετάσματα, ἦματι μέσσῳ
Νὺξ ἔσται σκοτόεσσα πελώριος ἐν τρισὶν ὥραις.
Κοὐκέτι γὰρ νηῷ κριφίῳ τε νόμῳ τε λατρεύσει
Φαντασίαις κόσμῳ κεκαλυμμένα αὖθις ἐδείχθη
Αὐθέντου καταβάντος ἐπὶ χθονὸς ἀενάοιο.
Ἥξει δ' ἐς ἀίδην ἀγγέλλων ἐλπίδα πᾶσιν
Τοῖς ἁγίοις τέλος αἰῶν καὶ ἔσχατον ἦμαρ.
Καὶ θανάτου μοῖραν τελέσει τρίτον ἦμαρ ὑπνώσας.
Καὶ τότε ἀποφθιμένων ἀνάστασις εἰς φάος ἥξει
Πρῶτος ἀναστάσεως ἀρχὴν θνητοῖς ἐπιδείξας
Ἀθανάτου πηγῆς ἀπολουσάμενος ὑδάτεσσι.
Τὰς πρότερον κακίας, ἵνα γεννηθέντες ἄνωθεν
Μηκέτι δουλεύσωσιν ἀθέσμοις ἤθεσι κόσμου.
Πρῶτα δὲ τοῖς ἰδίοις φανερῶς τότε κύριος ὀφθῇ.
Σάρκινος ὡς πάρος εἶεν χερσὶ ποσίν τ' ἐπιδείξει
Τέσσαρα τοῖς ἰδίοις ἴχθυν (a) πηχθέντα μέλεσσιν
Αντολίην τε δύσιν τε μεσημβρίην τε καὶ ἄρκτον.
Τόσσαι γὰρ κόσμῳ βασιληίδες ἐκτελέουσι
Πρᾶξιν τὴν ἀθέμιστον ἐπίψογον εἰς τύπον ἕλκων
Κόσμος ἄτακτος ἐὼν οὐ χρήσιμον ἶχος ἀκούει.
Μυκήσει δὲ χθὼν αἱμασσομένη πολέμοισι,
Πᾶσαι δ' ἀνθρώπων ψυχαὶ βρύξουσιν ὀδοῦσι
Καὶ καλέουσι τὸ θανεῖν καλὸν, καὶ φεύξετ' ἀπ' αὐτῶν,
Οὐκέτι γὰρ θάνατος κείνους οὐ νὺξ ἀναπαύσει.
Πολλὰ δ' ἐρωτήσουσι μάτην Θεὸν ὑψιμήδοντα,
Καὶ τότε ἀποστρέψει φανερῶς τὸ πρόσωπον ἀπ' αὐτῶν.
Επτὰ γὰρ αἰώνων μετανοίας ἦματ' ἔδωκεν
Ανδρασι πλαζομένοις διὰ χειρῶν παρθένου ἁγνης.
Αὐτός μοι τάδε πάντα Θεὸς φόῳ ἐγκατέδειξεν,
Καὶ δὲ ἐμοῦ στόματος τὰ λελεγμένα πάντα τελέσσει.

(a) Cod. ἔθνη.

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
Οἶδα μυχοὺς γαίης καὶ τάρταρον ἠερόεντα
Καὶ μερόπων ὄντων τε καὶ ἐσσομένων νεκύων τε·
Οἶδ' ἀριθμοὺς ἄστρων καὶ δένδρεα καὶ πόσα φύλλα,
Τετραπόδων νηκτῶν τε καὶ ὀρνίθων πετεηνῶν.
Αὐτὸς γὰρ μορφὰς καὶ νοῦν ἀνθρώπων ἐτύπωσε,
Καὶ λόγος ὀρθὸν ἔδωκεν ἐπιστήμην τ' ἐδίδαξεν
Ὀφθαλμοὺς δ πλάσας καὶ ὦτα ἔχων καὶ ἀκούων,
Καὶ πᾶν ἐνθύμημα νοῶν καὶ πᾶσι συνίστωρ.
Εντὸς (a) ἐγὼ σιγῶ καὶ ὕστερον αὐτὸς ἐλέγξω,
Καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω,
Καὶ πως ἐστι τὸ πᾶν ἀπὸ γῆς εἰς οὐρανὸν ὕψος.
Αρχὴν καὶ τέλος οἶδα· ὃς οὐρανὸν ἔκτισε καὶ γῆν.
Μοῦνος γὰρ Θεὸς εἰμὶ καὶ οὐκ ἐστὶ Θεὸς ἄλλος.
Εἰκόνα θεσπίζουσιν ἐμὴν πλασθεῖσαν ἀφ' ὕλης.
Χειρὶ δὲ μορφώσαντες ἐπ' εἰδώλοισιν ἀναύδοις
Δοξάσουσι λίθοισι καὶ θρησκείαισιν ἀνάγνοις,
Τὸν κτίστην λιπόντες ἀσελγείαις ἐλάτρευσαν.
Πάντ' ἕνα φῶτες ἔχοντες ἀχρήστοις δῶρα δίδουσιν·
Καὶ λύχνους ἅπτουσιν ἐμοὶ τῷ φῶτα διδοῦντι·
Καὶ ὃς ἐμὰς τιμὰς τότε χρήσιμα πάντα δοκοῦντες,
Εἰς οὐδὲν μεθύοντες ἐπ' ἀχρήστοις εἰδώλοισιν·
Οὐ χρῄζω θυσίης ἢ σπονδῆς ἡμετέρησιν
Οὐ κνίσσης μιαρᾶς οὐχ' αἵματος ἐχθίστοιο.
Ταῦτα γὰρ εἰς μνήμην βασιλήων ἠδὲ τυράννων
Δαίμοσι ποιήσουσι νεκροῖς ὡς οὐρανίοισι
Θρησκείαν ἄθεον καὶ ὀλέθριον ἐκτελέοντες.
Καὶ καλέουσι Θεοὺς ἄθεοι τὰς εἰκόνας αὐτῶν
Τὸν κτίστην προλιπόντες· ἀπ' αὐτῶν ἐλπίδα πᾶσαν
Ως ζωὴν νομίσαντες ἔχειν κωφοὶ καὶ ἄναυδοι
Εἰς τὸ κακὸν πιστοὶ ἀγαθὸν ὅλως ἀγνοοῦσιν.
Αὐτὸς ὁδοὺς προέηκα δύο ζωῆς θανάτου τε

(a) Ita cod. pro αὐτὸς.

Καὶ γνώμην προέθηκ' ἀγαθὴν ζωὴν προελέσθαι.
Αὐτοὶ δ' εἰς θάνατον καὶ πῦρ αἰώνιον ἧψαν.
Εἰκὼν ἐστ' ἄνθρωπος ἐμὴ (a) λόγον ὀρθὸν ἔχουσα.
Τούτῳ δὲς καθαρὰν καὶ ἀναίμακτόν τε τράπεζαν,
Πληρώσας ἀγαθῶν, καὶ δοὺς πεινῶντι τὸν ἄρτον,
Καὶ διψῶντι ποτὸν, καὶ εἵματα σώματι γυμνῷ·
Ἐκ μόχθων ἰδίων πορίσας ἀγναῖς παλάμῃσι,
Θλιβόμενον κτῆσαι (b) καὶ τῷ κάμνοντι παρίστα,
Καὶ ζώην θυσίαν ἐμοὶ τῷ ζῶντι πόριζε·
Σπείρων νῦν ἐς ὕδωρ ἵνα σοι κἀγώ ποτε δώσω.
Καρποὺς ἀθανάτους καὶ φῶς αἰώνιον ἕξεις
Καὶ ζωὴν ἀμάραντον, ὅταν πυρὶ πάντας ἐλέγχω·
Χωνεύσων γὰρ ἅπαντα καὶ εἰς καθαρὸν διαλίξω,
Οὐρανὸν εἰλίξω, γαίης κευθμῶνας ἀνοίξω.
Χρίνω δ' εὐσεβέων καὶ δυσσεβέων βίον ἀνδρῶν,
Καὶ κριὸν κριῷ, καὶ ποιμένι ποιμένα θήσω,
Καὶ μόσχον μόσχῳ πελάσας ἄλλους ἐς ἔλεγχον
Οἵτινες ὑψώθησαν ἐλεγχομένοις ἐπ' ἐλέγχῳ.
Καὶ στόματα πάντὸς ἔφραξαν, ἵν' αὐτοὶ ζηλώσαντες
Τοὺς ὁσίως πράσσοντας ἴσως καταδουλώσωσι.
Σιγᾷν προστάσσοντες ἐπειγόμενοι διὰ κέρδος.
Καὶ δόκιμοι παρ' ἐμοὶ τότε χωρήσουσιν ἅπαντες.
Οὐκέτι λοιπὸν ἔρις λυπουμένοις αὔριον (c) ἔσται,
Οὐκ ἔχθος γέγονεν, οὐχ ὕματα πολλὰ μερίμνης,
Οὐκ ἔαρ, οὐ χειμών, οὔτε δέρος οὐ μετόπωρον,
Οὐ δύσις ἀντολίη· ποιήσω γὰρ πᾶν μακρὸν
Ἡμαρ· εἰς δ' αἰῶνα τὸ φῶς πεποδήμενον ἔσται.

---

(a) Cod. ἀνθρώποις μὴ. (b) Cod. κτίσαι. (c) Cod. ἀρεῖον.

---

P. 3a. v. 156. Codex quidem habet χείρας, sed legendum est ἔχθρας metri causa.

# CLASSICORVM AVCTORVM OPERA

## AB ANGELO MAIO A. C. D.

### EDITA.

·M· TVLLII CICERONIS sex Orationum partes ineditae, nimirum *pro Scauro*, *pro Tullio*, *pro Placco*, *in Clodium et Curionem*, *de aere alieno Milonis*, *de rege Alexandrino*. Item antiquus Commentarius ineditus, qui videtur ASCONII PEDIANI ad eiusdem Tullii septem Orationes, cum ·C· GRACCHI inedito oratorio Fragmento. Accedunt Scholia minora vetera inedita ad alias quinque Tullianas orationes: nec non Editoris dissertationes et notae, et codicum specimina duo. Mediolani typis Io. Pirotae MDCCCXIV. T. II. 8.° p. 230.

EORVMDEM OPERVM editio altera ad codices ambrosianos diligenter retractata, emendata, atque aucta centum circiter locis: cum descriptione Tullianorum codicum CXLIX, vita Ciceronis, eiusdemque imagine, et duobus codicum specimibus, aliisque pluribus additamentis. Accedunt breves Commentationes de editionibus principibus mediolanensibus Ciceronis atque Frontonis. Mediolani regiis typis MDCCCXVII. T. I. 4.° et 8.° p. circiter 400.

·M· CORNELII FRONTONIS Opera inedita latina et graeca, cum Epistulis item ineditis ANTONINI PII, ·M· AVRELII, ·L· VERI et APPIANI, nec non aliorum Veterum Fragmentis. Ornatur editio commentario praevio notisque Editoris, quatuor item imaginibus Caesarum, octo numismatibus, et specimine codicis. Mediolani regiis typis MDCCCXV. T. II. 8.° (praeter exemplaria pauca in 4.°) p. 686.

·Q· AVRELII SYMMACHI ·V·C· octo Orationum ineditarum partes, cum vetere anonymi Oratoris Fragmento, et Pliniani panegyrici variis aliquot lectionibus. Accedunt Editoris notae, et dissertatio de Symmacho, et codicis specimen. Mediolani regiis typis MDCCCXV. T. I. 8.° p. 90.

DIONYSII HALICARNASSEI *Antiquitatum romanarum* pars hactenus desiderata, nunc denique ope codicum ambrosianorum quantum licuit restituta, nempe libri postremi novem quâ fieri potuit ratione reparati, graece cum latina Editoris interpretatione et notis et praevia dissertatione, nec non aliquot appendicibus. Editio splendida, litteris graecis quadratis, cum Dionysii imagine ex Ambrosiano codice expressa cumque exemplaribus selectis ac splendidioribus. Mediolani regiis typis MDCCCXVI. 4.° p. 232.

De hoc Opere extat etiam italica Dissertatio Petri Iordani. Mediolani typis Io. Silvestris MDCCCXVII. T. I. 8.° p. 144.

·M· ACCII PLAVTI Fragmenta inedita. Item ad ·P· TERENTIVM Commentationes et Picturae tres ineditae, cum eiusdem Terentii Vita item inedita. Accedunt ad tres dictas picturas specimen

codicis Plantini, et Editoris dissertatio ac notae. Mediolani regiis typis MDCCCXV. 4.° et 8.° p. 68.

ISAEI Oratio *de hereditate Cleonymi* nunc primum duplo auctior, graece cum latina Editoris interpretatione, dissertatione et aliquot notis, et plurimis variis lectionibus Orationis eiusdem Isaei *de Meneclis hereditate*. Mediolani regiis typis MDCCCXV. 4.° et 8.° p. 68.

THEMISTII PHILOSOPHI Oratio hactenus inedita *in eos a quibus ob praefecturam susceptam fuerat vituperatus*, graece cum latina Editoris interpretatione, adnotationibus, et praevia dissertatione. Accedit eiusdem Themistii Prooemium ineditum orationis funebris in patrem, cum brevibus lacunarum supplementis. Mediolani regiis typis MDCCCXVI. 4.° et 8.° p. 80.

Plauti etc. Isaei et Themistii Opera praedicta uno Tomo comprehenduntur.

PORPHYRII PHILOSOPHI opus ineditum *ad Marcellam coniugem*, graece cum latina Editoris interpretatione et notis ac praefatione. Accedit eiusdem Porphyrii poëticum Fragmentum: tum graecum Scholion Theodori ad Basilicorum librum XLV. titulum VI. de Armeniis. Mediolani regiis typis MDCCCXVI. 4.° et 8.° p. 76.

EVSEBII PAMPHILI *Praefatio et Specimen amplissimum totius Chronici inediti* ex armeniaca in latinam linguam translatum. Accedit PHILONIS IVDAEI *operum octo ineditorum notitia* e codicibus armeniacis petita. Additur graecus Tractatus quidam editus *de virtute* cum nova interpretatione. Mediolani regiis typis MDCCCXVI. 4.° et 8.° p. 114.

Porphyrii, Eusebii etc. scripta uno Tomo comprehenduntur.

ITINERARIVM ALEXANDRI *ad Constantium augustum Constantini magni filium*. Prodit ex ambrosiano codice cum Editoris dissertatione et notis, ac specimine Codicis, imagine Alexandri et tabula Itinerarii. Mediolani regiis typis MDCCCXVII. 4.° et 8.° p. 108.

IVLII VALERII *de rebus gestis Alexandri macedonis* libri tres translati ex AESOPO graeco. Prodeunt ex ambrosiano codice cum Editoris notis et dissertatione. Mediolani regiis typis 4.° et 8.° p. circiter 280.

Itinerarium et Iulius Valerius uno tomo comprehenduntur.

SIBYLLINVS LIBER XIV. graece ex ambrosiano codice, cum poëtica Editoris interpretatione et praevia dissertatione ac notis. Accedit Sibyllinus liber VI. et pars octavi cum mira vocum et versuum varietate. Mediolani regiis typis MDCCCXVII. T. I. 4.° et 8.° p. 56.

DIDYMI ALEXANDRINI *marmorum et lignorum quorumvis mensurae*, graece ex ambrosiano codice, cum latina Editoris interpretatione et notis. Mediolani regiis typis MDCCCXVII. 4.° et 8.°

ISOCRATIS Oratio *de permutatione*. Latine scilicet primum exhibetur ea pars ingens quae ab Andrea Mustoxido nuper erat graece edita, eademque notis et praefatione illustratur, et nova codicis ambrosiani collatione emendatur, additis quatuor appendicibus. Mediolani typis Io. Pirotae MDCCCXIII. T. I. 8.° p. 148.

Hi libri in aedibus bibliothecae ambrosianae Mediolani prostant.

PA 4253 .O83 1817
Sivylles logos 14 - C.1
Stanford University Libraries
3 6105 040 190 691